16 [1] Καὶ ἀνέβη Ιωαννης ἐκ Γαζαρων καὶ ἀπήγγειλεν Σιμωνι τῷ
2 πατρὶ αὐτοῦ ἃ συνετέλεσεν Κενδεβαῖος. [2] καὶ ἐκάλεσεν Σιμων τοὺς
δύο υἱοὺς αὐτοῦ τοὺς πρεσβυτέρους Ιουδαν καὶ Ιωαννην καὶ εἶπεν
αὐτοῖς Ἐγὼ καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου
ἐπολεμήσαμεν τοὺς πολέμους Ισραηλ ἀπὸ νεότητος ἕως τῆς σή-
μερον ἡμέρας, καὶ εὐοδώθη ἐν ταῖς χερσὶν ἡμῶν ῥύσασθαι τὸν
3 Ισραηλ πλεονάκις· [3] νυνὶ δὲ γεγήρακα, καὶ ὑμεῖς δὲ ἐν τῷ ἐλέει
ἱκανοί ἐστε ἐν τοῖς ἔτεσιν· γίνεσθε ἀντ᾿ ἐμοῦ καὶ τοῦ ἀδελφοῦ
μου καὶ ἐξελθόντες ὑπερμαχεῖτε ὑπὲρ τοῦ ἔθνους ἡμῶν, ἡ δὲ ἐκ
4 τοῦ οὐρανοῦ βοήθεια ἔστω μεθ᾿ ὑμῶν. [4] καὶ ἐπέλεξεν ἐκ τῆς χώρας
εἴκοσι χιλιάδας ἀνδρῶν πολεμιστῶν καὶ ἱππεῖς, καὶ ἐπορεύθησαν
5 ἐπὶ τὸν Κενδεβαῖον καὶ ἐκοιμήθησαν ἐν Μωδεϊν. [5] καὶ ἀναστάντες
τὸ πρωὶ ἐπορεύθησαν εἰς τὸ πεδίον, καὶ ἰδοὺ δύναμις πολλὴ εἰς
συνάντησιν αὐτοῖς, πεζικὴ καὶ ἱππεῖς, καὶ χειμάρρους ἦν ἀνὰ
6 μέσον αὐτῶν. [6] καὶ παρενέβαλε κατὰ πρόσωπον αὐτῶν αὐτὸς καὶ
ὁ λαὸς αὐτοῦ. καὶ εἶδεν τὸν λαὸν δειλούμενον διαπεράσαι τὸν
χειμάρρουν καὶ διεπέρασεν πρῶτος· καὶ εἶδον αὐτὸν οἱ ἄνδρες
7 καὶ διεπέρασαν κατόπισθεν αὐτοῦ. [7] καὶ διεῖλεν τὸν λαὸν καὶ τοὺς
ἱππεῖς ἐν μέσῳ τῶν πεζῶν· ἦν δὲ ἵππος τῶν ὑπεναντίων πολλὴ
8 σφόδρα. [8] καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν, καὶ ἐτροπώθη Κενδεβαῖος
καὶ ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί·
9 οἱ δὲ καταλειφθέντες ἔφυγον εἰς τὸ ὀχύρωμα. [9] τότε ἐτραυματίσθη
Ιουδας ὁ ἀδελφὸς Ιωαννου· Ιωαννης δὲ κατεδίωξεν αὐτούς, ἕως
10 ἦλθεν εἰς Κεδρων, ἣν ᾠκοδόμησεν. [10] καὶ ἔφυγον εἰς τοὺς πύργους
τοὺς ἐν τοῖς ἀγροῖς Ἀζώτου, καὶ ἐνεπύρισεν αὐτὴν ἐν πυρί, καὶ
ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας δισχιλίους. καὶ ἀπέστρεψεν εἰς τὴν
Ιουδαίαν μετὰ εἰρήνης.
11 [11] Καὶ Πτολεμαῖος ὁ τοῦ Ἀβούβου ἦν καθεσταμένος στρατηγὸς
12 εἰς τὸ πεδίον Ιεριχω καὶ ἔσχεν ἀργύριον καὶ χρυσίον πολύ· [12] ἦν
13 γὰρ γαμβρὸς τοῦ ἀρχιερέως. [13] καὶ ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ
ἐβουλήθη κατακρατῆσαι τῆς χώρας καὶ ἐβουλεύετο δόλῳ κατὰ Σι-
14 μωνος καὶ τῶν υἱῶν αὐτοῦ ἆραι αὐτούς. [14] Σιμων δὲ ἦν ἐφοδεύων
τὰς πόλεις τὰς ἐν τῇ χώρᾳ καὶ φροντίζων τῆς ἐπιμελείας αὐτῶν·
καὶ κατέβη εἰς Ιεριχω αὐτὸς καὶ Ματταθιας καὶ Ιουδας οἱ υἱοὶ
αὐτοῦ ἔτους ἑβδόμου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἐν μηνὶ

16 1 συνετελεσεν] -λει A || 2 πολεμους] -μιους S*La || 3 υπερμαχειτε > S*† | εστω] ητω A || 4 μωδε(ε)ιν] -διν S*V†, -δαειμ A: cf. 2 1. 23 || 5 επορευθησαν S(†)] -ρευοντο rel. | πεζικη] -κοι A pau. || 7 ην S*La†] η rel. || 8 σαλπιγξι(ν)] pr. ιεραις VLa† | ετροπωθη κενδεβαιος] -θησαν δαιβεος S*† | αυτων] -του A† || 9 ηλθεν] ελθειν A pau. || 10 τοις αγροις] τω -ρω A | δισχιλιους] δισ > ALa, τρισχιλ. *L* || 13 και ult.] + κατα A† || 14 φροντιζων της (cf. Helbing Kasussyntax p. 111)] φρ. τα της S*, φρ. τας A† | οι υιοι] pr. και A, αδελφος S*(†), υιοι Sc